*Ἢ τὰ πολλὰ ἐπί τινα χρόνον* [524d 3]: *καλῶς* 5
*καὶ τὸ ʽἐπί τινα χρόνονʼ· οὐ γὰρ διὰ παντός. καὶ ἄλλως καὶ τὸ ʽἢ τὰ πολλάʼ· τί γάρ; ὅτι ἐπιπόλαιά τινα εἶχε πάθη, ἃ εὐθέως ἅμα τῷ ἀποθανεῖν συνέπεσεν καὶ ἀφανῆ ἐγένετο.*

*Τά τε τῆς φύσεως* [524d 5–6]: *μὴ νομίσῃς ἐκ τού-* 6
*του ὅτι φυσική ἐστιν ἡ κακία τῇ ψυχῇ· ἐπεὶ εἰ ἀσώματός ἐστιν καὶ ἀθάνατος ἡ ψυχή, ἔχοι δὲ καὶ ἐκ φύσεως τὴν κακίαν, καὶ ἡ κακία ἔσται ἀθάνατος, ὅπερ ἄτοπον· ἀλλʼ ἐκ φύσεως λέγει ἢ τὴν συζήσασαν τοῖς αἰσχροῖς, ὡς οἱονεὶ συνουσιωθῆναι αὐτῇ τὴν κακίαν, ἢ τὴν ταῖς κράσεσι τοῦ σώματος δουλεύσασαν. εἴρηται γὰρ ὅτι ʽταῖς τοῦ σώματος κράσεσιν ἕπονται αἱ τῆς ψυχῆς δυνάμειςʼ· ἀλλὰ προσ-*
*τιθέασι | ʽχωρὶς εἰ μὴ τὰ κατὰ φιλοσοφίαν ἀντιπράξοιʼ.* 239
*δίδωσιν οὖν καὶ ὑπὲρ τούτου τιμωρίας ἡ ψυχή, ὅτι ὅλως αὐτοκίνητος οὖσα καὶ παραλαβοῦσα θυμὸν καὶ ἐπιθυμίαν καὶ τοιάσδε τινὰς κράσεις οὐκ ἐρρύθμισεν αὐτὰς τῷ αὐτοκινήτῳ καὶ ἐπὶ τὸ κάλλιον ἤγαγεν. ὥσπερ γὰρ τὸν ὀφθαλμιῶντα ὁ ἰατρὸς εἰκὸς μαστίζει, οὐχὶ διότι ὀφθαλμιᾷ, ἀλλʼ ὅτι ψηλαφᾷ τοὺς ὀφθαλμοὺς καὶ ἐρεθίζει καὶ οὐ φυλάττει τὸ ὑπὸ τοῦ ἰατροῦ γεγονὸς σχῆμα, οὕτω καὶ ὁ δημιουργὸς τιμωρεῖται τὰς ψυχὰς ὡς μὴ τῷ αὐτοκινήτῳ κρατησάσας τῶν ἐπʼ ἀγαθῷ δεδομένων παθῶν· ἔδει γὰρ κρατῆσαι καὶ ἐπʼ ἀγαθῷ χρήσασθαι καὶ μὴ ἐπὶ κακῷ.*

## 50

### *Πρᾶξις σὺν θεῷ ν′*

*Ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν* 1
[524d 7–527e 7].

*Μῦθον μὲν ἡμῖν ὁ Πλάτων παραδίδωσιν, οὐκ ἐᾷ δὲ αὐτὸν ποιητικὸν εἶναι ἀλλὰ καὶ ἀποδείξεις προστίθησιν· τοῦτο*

**mg. 13** *ση. οἷα τὰ ἐκ φιλοσοφίας ἡμῖν ἐγγινόμενα δῶρα.*